ἀρθ. σιχ.

τῆσδ᾽ οὖν παρούσης, σώζετ᾽ ἄφθορον τόδε,
κἀναιρεθείσης, συνδιέφθαρτ᾽ ἐς τάχος.
κίνησις ἐστὶ τοίνυν ἀρχὴ τοῦδ᾽ ὅλως
συνεκτική τε σωστική τε τὸ πλέον,
σώζουσα δήπου ζῶν τε κἄφθορον τόδε.

*Κίνησις ἡ ἐν σώματι τί ἐστι.*

Οὐκ αὐτόματος κἀυτογέννητος δ᾽ ὅμως
κίνησις ἥδ᾽ ἐστ᾽, ἀλλ᾽ ὑπαρχὴν λαμβάνει
αἰσθήσεώς τε καὶ κατασκευῆς ὕπο
σκήνους τε παντὸς καὶ μελῶν τοῦδ᾽ ἐν μέρει,
ἡ μηχανή τ᾽ ἤκουσε, τεχνούργημά τε,
συναρμογή τε τοῦδε, σύμπηξις τ᾽ ἔτι·
ὧν τῆς μὲν ἐγκέφαλος ἀρχὴ καὶ βάσις,
σθένος δὲ νεῦρα πανταχοῦ τείνοντά τε
τοῦ σώματος δή, καὶ τελοῦντα σφῶν δράσιν
αἴσθησιν ἢ κίνησιν, ἀλλ᾽ ἑκατέραν
ὅσον τάχιστα· ταῦτα καὶ γὰρ τυγχάνει(θ)
ἐξ ἐγκεφάλου καὶ παρεγκεφαλίδος
καὶ νωτιαίου σύζυγ᾽ ἐκπεφυκότα
ἐμπροσθίως πως· μαλθακῶς δ᾽ ἀφιγμένα
αἰσθητικῶν μὲν ὀργάνων πρὸς πεντάδα,
πρὸς σπλάγχνα καὶ μύας δὲ καὶ ξύμπαν δέμας,
αἰσθήσεως ξύμπασι τὴν ἰσχὺν φέρει

*Δ. Τῆς ἀρχαὶ ἡ τοῦ σώματος αἴσθησις καὶ κατασκευή.*

κινή-

(θ) Γαληνυ. περὶ συστάσ. Ἰατρικ. δ. νεύρων ἀνατομ. Α. χρείας τῶν ἐν ἀνθρωπ. μορ. Η. δ. ς. ιγ. μυῶν κινήσ. Α. α. γ.